ἴσαι πυραμίδες τριγώνους ἔχουσαι βάσεις τὰς ΑΒΓ
ΔΕΖ. κορυφὰς δὲ τὰ Η Θ σημεῖα· λέγω ὅτι τῶν ΑΒΓΗ
ΔΕΖΘ πυραμίδων. ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς
ὕψεσιν· καὶ ἔστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν.
οὕτως τὸ τῆς ΔΕΖΘ πυραμίδος ὕψος πρὸς τὸ τῆς
ΑΒΓΗ πυραμίδος ὕψος· συμπεπληρώσθω γὰρ
τὰ ΒΗΜΛ ΕΘΠΟ στερεὰ παραλληλεπίπεδα· καὶ ἐπεὶ
ἴση ἐστὶν ἡ ΑΒΓΗ πυραμὶς τῇ ΔΕΖΘ πυραμίδι. καὶ
δ τ προαγ
ἔστι τῆς μὲν ΑΒΓΗ πυραμίδος ἑξαπλάσιον τὸ ΒΗΜΛ
στερεόν. τῆς δὲ ΔΕΖΘ πυραμίδος ἑξαπλάσιον τὸ
ΕΘΠΟ στερεόν, ἴσον ἄρα ἐστὶ τὸ ΒΗΜΛ στερεὸν τῷ ΕΘΠΟ
δ τ λα τια
στερεῷ· τῶν δὲ ἴσων στερεῶν παραλληλεπιπέδων.
ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· ἔστιν ἄρα
ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΕΠ βάσιν, οὕτως τὸ τοῦ
ΕΘΠΟ στερεοῦ ὕψος πρὸς τὸ τοῦ ΒΗΜΛ στερεοῦ ὕψος·
ἑκάστη ἡμίσεια τῆς καθ' ἑαυτὸ παραλληλογράμμου.
ἀλλ' ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΕΠ, οὕτως τὸ ΑΒΓ τρί
γωνον πρὸς τὸ ΔΕΖ τρίγωνον· καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγω
νον πρὸς τὸ ΔΕΖ τρίγωνον, οὕτως τὸ τοῦ ΕΘΠΟ στερεοῦ
ἴσου ὕψους εἰσί
ὕψος πρὸς τὸ τοῦ ΒΗΜΛ στερεοῦ ὕψος· ἀλλὰ τὸ μὲν τοῦ
ΕΘΠΟ στερεοῦ ὕψος, τὸ αὐτό ἐστιν τῷ τῆς ΔΕΖΘ πυ
ραμίδος ὕψει· τὸ δὲ τοῦ ΒΗΜΛ στερεοῦ ὕψος. τὸ αὐτὸ
ἐστὶν τῷ τῆς ΑΒΓΗ πυραμίδος ὕψει· ἔστιν ἄρα ὡς ἡ
ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως τὸ τῆς ΔΕΖΘ
πυραμίδος ὕψος πρὸς τὸ τῆς ΑΒΓΗ πυραμίδος ὕ
ψος· τῶν ΑΒΓΗ ΔΕΖΘ ἄρα πυραμίδων. ἀντιπε
πόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν· ἀλλὰ δὴ τῶν ΑΒΓΗ

ΔΕΖΘ πυραμίδων. ἀντιπεπονθέτωσαν αἱ βάσεις τοῖς
ὕψεσιν. καὶ ἔστω ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕ
τως τὸ τῆς ΔΕΖΘ πυραμίδος ὕψος πρὸς τὸ τῆς ΑΒΓΗ
πυραμίδος ὕψος· λέγω ὅτι ἴση ἐστὶν ἡ ΑΒΓΗ πυρα
μὶς τῇ ΔΕΖΘ πυραμίδι· τῶν γὰρ αὐτῶν κατασκευα
σθέντων ἐπεί ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βά
σιν, οὕτως τὸ τῆς ΔΕΖΘ πυραμίδος ὕψος πρὸς
τὸ τῆς ΑΒΓΗ πυραμίδος ὕψος· ἀλλ' ὡς ἡ ΑΒΓ βά
ἑκάστη διπλασία τοῦ κατ' αὐτὸ παραλληλογράμμου
σις πρὸς τὴν ΔΕΖ βάσιν· οὕτως τὸ ΒΜ παραλληλό
γραμμον πρὸς τὸ ΕΠ παραλληλόγραμμον· καὶ ὡς ἄρα
τὸ ΒΜ παραλληλόγραμμον πρὸς τὸ ΕΠ παραλληλό
γραμμον, οὕτως τὸ τῆς ΔΕΖΘ πυραμίδος ὕψος
πρὸς τὸ τῆς ΑΒΓΗ πυραμίδος ὕψος· ἀλλὰ τὸ μὲν τῆς
πάλιν ἐπὶ ἴσου ὕψ.
ΔΕΖΘ πυραμίδος ὕψος. τὸ αὐτό ἐστι τῷ τοῦ ΕΘΠΟ
παραλληλεπιπέδου ὕψει· τὸ δὲ τῆς ΑΒΓΗ πυραμίδος
ὕψος. τὸ αὐτό ἐστιν τῷ τοῦ ΒΗΜΛ παραλληλεπιπέ
δου ὕψει· ἔστιν ἄρα ὡς ἡ ΒΜ βάσις πρὸς τὴν ΕΠ βάσιν.
δ τ λα τια
οὕτως τὸ τοῦ ΕΘΠΟ παραλληλεπιπέδου ὕψος πρὸς
τὸ τοῦ ΒΗΜΛ παραλληλεπιπέδου ὕψος· ὧν δὲ στε
ρεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βά
σεις τοῖς ὕψεσιν, ἴσα ἐστὶν ἐκεῖνα· ἴσον ἄρα ἐστὶ τὸ
ΒΗΜΛ στερεὸν παραλληλεπίπεδον τῷ ΕΘΠΟ στερε
ῷ παραλληλεπιπέδῳ· καί ἐστι τοῦ μὲν ΒΗΜΛ ἕκτον
μέρος ἡ ΑΒΓΗ πυραμίς· τοῦ δὲ ΕΘΠΟ παραλληλεπι
πέδου ἕκτον μέρος ἡ ΔΕΖΘ πυραμίς· ἡ ἄρα
ΑΒΓΗ πυραμὶς τῇ ΔΕΖΘ πυραμίδι ἴση ἐστίν· τῶν

BIBLIOTHECA BODLEIANA

EUCLID Elementa BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo